OPERE

di

Esiodo

A CURA DI

ARISTIDE COLONNA

UNIONE TIPOGRAFICO-EDITRICE TORINESE

www.scribd.com/Cultura_in_Ita5

Prima edizione: 1977

Stamperia Artistica Nazionale - Corso Siracusa 37, 10136 Torino

www.scribd.com/Cultura_in_Ita5

βουσὶ καὶ ἡμιόνοισιν ἐπηετανόν. Αὐτὰρ ἔπειτα
δμῶας ἀναψῦξαι φίλα γούνατα καὶ βόε λῦσαι.
Εὖτ' ἂν δ' Ὠρίων καὶ Σείριος ἐς μέσον ἔλθῃ
οὐρανόν, Ἀρκτοῦρον [49] δ' ἐσίδῃ ῥοδοδάκτυλος Ἠώς,
ὦ Πέρση, τότε πάντας ἀπόδρεπε οἴκαδε βότρυς·
δεῖξαι δ' ἠελίῳ δέκα τ' ἤματα καὶ δέκα νύκτας,
πέντε δὲ συσκιάσαι, ἕκτῳ δ' εἰς ἄγγε' ἀφύσσαι
δῶρα Διωνύσου πολυγηθέος, αὐτὰρ ἐπὴν δὴ
Πληιάδες θ' Ὑάδες τε τό τε σθένος Ὠρίωνος
δύνωσιν [50], τότ' ἔπειτ' ἀρότου μεμνημένος εἶναι
ὡραίου· πλειὼν δὲ κατὰ χθονὸς [51] ἄρμενος εἴη.
Εἰ δέ σε ναυτιλίης δυσπεμφέλου ἵμερος αἱρεῖ,
εὖτ' ἂν Πληιάδες σθένος ὄβριμον Ὠρίωνος
φεύγουσαι πίπτωσιν ἐς ἠεροειδέα πόντον,
δὴ τότε παντοίων ἀνέμων θύουσιν ἀῆται·
καὶ τότε μηκέτι νῆας ἔχειν ἐνὶ οἴνοπι πόντῳ,
γῆν δ' ἐργάζεσθαι μεμνημένος, ὡς σε κελεύω.
Νῆα δ' ἐπ' ἠπείρου ἐρύσαι πυκάσαι τε λίθοισι
πάντοθεν, ὄφρ' ἴσχωσ' ἀνέμων μένος ὑγρὸν ἀέντων,
χείμαρον ἐξερύσας, ἵνα μὴ πύθῃ Διὸς ὄμβρος.
Ὅπλα δ' ἐπάρμενα πάντα τεῷ ἐγκάτθεο οἴκῳ
εὐκόσμως στολίσας νηὸς πτερὰ ποντοπόροιο.
Πηδάλιον δ' εὐεργὲς ὑπὲρ καπνοῦ κρεμάσασθαι,
αὐτὸς δ' ὡραῖον μίμνειν πλόον, εἰς ὅ κεν ἔλθῃ·
καὶ τότε νῆα θοὴν ἅλαδ' ἑλκέμεν, ἐν δέ τε φόρτον
ἄρμενον ἐντύνασθαι, ἵν' οἴκαδε κέρδος ἄρηαι,
ὥς περ ἐμός τε πατὴρ καὶ σός, μέγα νήπιε Πέρση,
πλωίζεσκ' ἐν νηυσί, βίου κεχρημένος ἐσθλοῦ·
ὅς ποτε καὶ τεῖδ' ἦλθε, πολὺν διὰ πόντον ἀνύσσας,
Κύμην Αἰολίδα προλιπών, ἐν νηὶ μελαίνῃ·
οὐκ ἄφενος φεύγων οὐδὲ πλοῦτόν τε καὶ ὄλβον,
ἀλλὰ κακὴν πενίην, τὴν Ζεὺς ἄνδρεσσι δίδωσιν.
Νάσσατο δ' ἄγχ' Ἑλικῶνος ὀιζυρῇ ἐνὶ κώμῃ,
Ἄσκρῃ, χεῖμα κακῇ, θέρει ἀργαλέῃ, οὐδέ ποτ' ἐσθλῇ.
Τύνη δ', ὦ Πέρση, ἔργων μεμνημένος εἶναι

49. Nel mese di settembre.
50. Ai primi di novembre.

www.scribd.com/Cultura_in_Ita5

buoi e per i muli. Dopo di ciò, lascia che i tuoi servi riposino le ginocchia, e sciogli i buoi.

Quando poi Orione e Sirio sono giunti a mezzo del cielo, e l'Aurora dalle dita di rosa riesce a vedere Arturo [49], allora, o Perse, raccogli tutti i grappoli d'uva e portali a casa; esponili al sole per dieci giorni e dieci notti; quindi per cinque giorni lasciali all'ombra, ed al sesto versa nei recipienti il dono di Dioniso ricco di letizie. Poscia, dopo che le Pleiadi e le Iadi e la possa di Orione son tramontati [50], allora alfine ricordati che è la stagione di arare: così l'anno agricolo si compia armonicamente sotterra [51].

Ma se ti prende desiderio della navigazione perigliosa, nel tempo in cui le Pleiadi, fuggendo la terribile possa di Orione, si tuffano nel mare caliginoso, allora invero spirano i soffi dei venti da ogni direzione; ed allora tu non tener mai le navi sul purpureo mare, ma ricordati di lavorare la terra, come io ti comando. Tira la nave sulla spiaggia, ed assicurala con pietre tutto intorno, affinché sia protetta dalla violenza dei venti che soffiano umidi, togliendo il cavicchio della sentina, perché la pioggia di Zeus non la faccia marcire. E tutti gli attrezzi della nave in ordine riponi nella tua casa, dopo avere ripiegato con cura le vele, ali della nave che viaggia sul mare. Appendi il timone ben fatto sopra il focolare, e tu aspetta la stagione propizia a navigare, fino a quando essa giunga. Ed allora tu tira sul mare la nave veloce, e dentro sistema il giusto carico, per poter portare a casa il guadagno; allo stesso modo, come il padre tuo e mio, o Perse grande incosciente, andava sul mare con le sue navi, essendo a corto di ogni benessere. Ed egli un giorno qui giunse, dopo avere traversato molto mare, dopo aver abbandonato Cuma eolica su una nera nave, non certo fuggendo gli agi, né la ricchezza e il benessere, ma la cattiva povertà, che Zeus assegna ai mortali. Egli pose la sua dimora presso il monte Elicona, in un paese infelice, ad Ascra, cattiva d'inverno, pessima d'estate, giammai confortevole.

Ma tu, o Perse, sii ben memore di fare tutti i lavori nella

51. Cioè la successione armonica delle stagioni dell'anno si compia con l'aratura, con cui aveva avuto inizio.

www.scribd.com/Cultura_in_Ita5